nam ex eo quod ædificant bene, boni: ex eo quòd male, mali efficiuntur. niſi enim ita eſſet, nullo opus eſſet doctore, ſed omnes vel boni fierent, vel mali. Ita igitur in virtutibus quoque eſt: agendo enim quæ ad commercia hominum ſpectant, alij iuſti, alij iniuſti efficimur: agendo, quæ in terribilibus rebus conſiſtunt, aſſueſcendóque vel confidere vel timere, alij fortes, alij ignaui euadimus, pari modo in iis quæ ad cupiditates & iras pertinent, temperantes alij, & manſueti, alij iracundi & intemperãtes fieri conſpiciũtur: illi, quod hoc: hi, quòd illo modo in illis ſe gerunt: & vt vno verbo dicam, ex ſimilibus operationibus habitus fiunt, vnde operationes qualitate quadã præditas oportet reddere: quippe cùm ex earum differẽtiis habitus quoque conſequantur. non igitur parũ refert, ſic ne an ſic ſtatim ab adoleſcentia cõſueſcat aliquis, ſed quàm plurimum: imò totum in eo penitùs conſiſtit.

CAPUT II.

Quoniam igitur præſens tractatio nõ eſt ſpeculationis cauſa, quemadmodum aliæ (non enim fit, vt cognoſcamus quid ſit virtus, ſed vt boni efficiamur; alioqui nulla eius eſſet vtilitas) neceſſe eſt, vt de actionibus, quomodo agendæ ſint, conſideremus: quippe cùm in eis ſita vis ſit, vt habitus quoque præditi qualitate quadam reddantur, ſicuti diximus. Agere igitur ſecundum rectam rationem commune eſt, & in præſentia ita ſumatur: dicetur autem poſtea de ipſo, & quid ſit recta ratio, & quomodo ad alias virtutes ſeſe habeat. Illúdque prius conceſſum apud nos conſtet, omnem de agendis diſputationem figura quadam, non autem exactè pertractari oportere: quemadmodum in principio etiam docuimus, cùm pro ſubiecta materia rationes eſſe poſtulandas, quæque in actionibus verſantur, vtiliáque ſunt, nullam habere ſtabilitatem, ſicuti neque ſalubria, diceremus. Cúmque vniuerſalis ratio eiuſmodi ſit, minus exquiſitam quoque particularem eſſe manifeſtum eſt: quippe cùm neque ſub artem, neque ſub præceptionem aliquam cadat: debeántque illi qui agunt, ſubinde opportunitatem obſeruare: id quod in medicina, & in gubernandi arte conſpicitur. Verùm licet talis præſens hæc tractatio ſit, enitendum eſt tamen, vt ei ſuccurramus. Primùm igitur illud cõſiderandum: res huiuſcemodi

A ἐκ μὲν γὰρ τοῦ εὖ οἰκοδομεῖν, ἀγαθοὶ οἰκοδόμοι ἔσονται, ἐκ δὲ τοῦ κακῶς, κακοί· εἰ γὰρ μὴ οὕτως εἶχεν, οὐδὲν ἂν ἔδει τοῦ διδάξοντος· ἀλλὰ πάντες ἂν ἐγίνοντο ἀγαθοὶ, ἢ κακοί· οὕτω δὴ καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει· πράττοντες γὰρ τὰ ἐν τοῖς συναλλάγμασι τοῖς πρὸς τοὺς ἀνθρώπους, γινόμεθα οἱ μὲν δίκαιοι, οἱ δὲ ἄδικοι· πράττοντες δὲ τὰ ἐν τοῖς δεινοῖς, καὶ ἐθιζόμενοι ἢ φοβεῖσθαι ἢ θαῤῥεῖν, οἱ μὲν B ἀνδρεῖοι, οἱ δὲ δειλοί. ὁμοίως δὲ καὶ τὰ περὶ τὰς ἐπιθυμίας ἔχει, καὶ τὰ περὶ τὰς ὀργάς· οἱ μὲν γὰρ, σώφρονες καὶ πρᾶοι γίνονται· οἱ δὲ, ἀκόλαστοι καὶ ὀργίλοι· οἱ μὲν, ἐκ τοῦ οὑτωσὶ ἐν αὐτοῖς ἀναστρέφεσθαι· οἱ δὲ, ἐκ τοῦ οὕτως. καὶ ἑνὶ δὴ λόγῳ, ἐκ τῶν ὁμοίων ἐνεργειῶν αἱ ἕξεις γίνονται. διὸ δεῖ τὰς ἐνεργείας ποιὰς ἀποδιδόναι. κατὰ γὰρ τὰς τούτων διαφορὰς ἀκολουθοῦσιν αἱ ἕξεις. C οὐ μικρὸν οὖν διαφέρει τὸ οὕτως ἢ οὕτως εὐθὺς ἐκ νέων ἐθίζεσθαι, ἀλλὰ πάμπολυ· μᾶλλον δὲ, τὸ πᾶν.

Κεφάλαιον. β.

Ἐπεὶ οὖν ἡ παροῦσα πραγματεία οὐ θεωρίας ἕνεκά ἐστιν ὥσπερ αἱ ἄλλαι· οὐ γὰρ ἵν᾽ εἰδῶμεν τί ἐστιν ἡ ἀρετὴ, σκεπτόμεθα· ἀλλ᾽ ἵν᾽ ἀγαθοὶ γινώμεθα· ἐπεὶ οὐδὲν ἂν D ἦν ὄφελος αὐτῆς· ἀναγκαῖόν ἐστι σκέψασθαι τὰ περὶ τὰς πράξεις, πῶς πρακτέον αὐτάς. αὗται γάρ εἰσι κύριαι καὶ τοῦ ποιὰς γενέσθαι τὰς ἕξεις, καθάπερ εἰρήκαμεν. τὸ μὲν οὖν κατὰ τὸν ὀρθὸν λόγον πράττειν, κοινὸν, καὶ ὑποκείσθω. ῥηθήσεται δ᾽ ὕστερον περὶ αὐτοῦ, καὶ τί ἐστιν ὁ ὀρθὸς λόγος, καὶ πῶς ἔχει πρὸς τὰς ἄλλας ἀρετάς. ἐκεῖνο δὲ προδιομολογείσθω, E ὅτι πᾶς ὁ περὶ τῶν πρακτῶν λόγος, τύπῳ καὶ οὐκ ἀκριβῶς ὀφείλει λέγεσθαι, ὥσπερ καὶ κατ᾽ ἀρχὰς εἴπομεν, ὅτι κατὰ τὴν ὕλην οἱ λόγοι ἀπαιτητέοι· τὰ δ᾽ ἐν ταῖς πράξεσι καὶ τὰ συμφέροντα, οὐδὲν ἑστηκὸς ἔχει, ὥσπερ οὐδὲ τὰ ὑγιεινά. τοιούτου δ᾽ ὄντος τοῦ καθόλου λόγου, ἔτι μᾶλλον ὁ περὶ τῶν καθ᾽ F ἕκαστα λόγος οὐκ ἔχει τἀκριβές· οὔτε γὰρ ὑπὸ τέχνην, οὔθ᾽ ὑπὸ παραγγελίαν οὐδεμίαν πίπτει. δεῖ δ᾽ αὐτοὺς ἀεὶ τοὺς πράττοντας, τὰ πρὸς τὸν καιρὸν σκοπεῖν, ὥσπερ καὶ ἐπὶ τῆς ἰατρικῆς ἔχει καὶ τῆς κυβερνητικῆς. ἀλλὰ καίπερ ὄντος τοιούτου τοῦ παρόντος λόγου, πειρατέον βοηθεῖν. πρῶτον οὖν τοῦτο θεωρητέον, ὅτι τὰ τοιαῦτα πέφυκεν